ἢ τῶν πρώτων τῆς Ἑλλάδος οἰκητόρων μοῖράν τινα εἶναι τοὺς Μακεδνοὺς ἀναγράφουσα καὶ τὴν Μακεδονικὴν ἐποχὴν τῆς τῶν Ἑλλήνων ἀκμῆς εὐεργέτιδα τῆς ἀνθρωπότητος καὶ προαγωγὸν τοῦ ἐκπολιτισμοῦ ἀνακηρύττουσα καὶ ἐπὶ τῶν Βυζαντινῶν χρόνων τὴν Μακεδονίαν διδάσκουσα κοιτίδα γενέσθαι τῶν ἀνδρῶν τῶν ὑπὲρ τῆς ἐλευθερίας τῆς Εὐρώπης ὑπερμαχησαμένων κατά τε τῶν βορείων Σκυθῶν καὶ τῶν Ἀσιανῶν ἐπιδρομέων καὶ ἀπὸ τῆς ἁλώσεως τὴν Ἑλληνίδα ἐκείνην γῆν ἀνομολογοῦσα ἐν τοῖς ὑπὲρ τῶν χριστιανῶν ἁπάντων ἀγῶσι τὰ πρῶτα ἐνεγκαμένην· ἀλλὰ ἀντὶ τῆς ἱστορίας φιμωθείσης ὑπὸ τῶν βιαστῶν καὶ τῶν ἀδικούντων λαλήσωμεν ἡμεῖς καὶ ἀναβοήσωμεν τὴν τῶν Ἡρακλειδῶν δευτέραν πατρίδα ἀντιποιούμενοι πάσαις δυνάμεσι καὶ τὰς ἀποκαρδίους τοῦ Ἰσοκράτους πρὸς Φίλιππον νουθεσίας ὡς ἡμῖν αὐτοῖς διαπεμφθείσας ἀνὰ μέσον τῶν αἰώνων ἡγησώμεθα. Καὶ μεθ' οἵου μὲν πατριωτικοῦ ἄλγους ὁ καλὸς κἀγαθὸς ἐκεῖνος πολίτης τῷ τῶν Μακεδόνων ἰσχυρῷ βασιλεῖ συνεβούλευε τὰς πόλεις πάσας τὰς Ἑλληνίδας συστήσαντι καὶ συνδιαλλάξαντι ἐπὶ τὴν Ἀσίαν ἐλάσαι πάντες οἱ καὶ ἄκροις δακτύλοις τῶν Ἑλληνικῶν γραμμάτων ἁψάμενοι ἴσασι· δι' οἵων δὲ ἡμεῖς ἀγώνων ὀφείλομεν καταδεῖξαι ὅτι δυνάμεθα νέοι γινόμενοι Ἡρακλεῖς Ἄργους τε καὶ Θηβῶν καὶ Ἀθηνῶν καὶ Σπάρτης καὶ Πέλλης καὶ Ἀμφιπόλεως «τοσαύτην ποιεῖν πρόνοιαν ὅσην καὶ περὶ τῶν γονέων ἡμῶν» τοῦτο τῶν Ἑλλήνων ἕκαστος μανθανέτω ἐνθυμούμενος ὁπόσον μὲν ἡ τῶν πατέρων ὀλιγωρία τὴν Βουλγαροφωνίαν ἐκ τῆς ἀμαθίας ἐπὶ τὴν Μακεδονίαν ἐπεκταθῆναι καὶ τοῖς ξενόφροσιν ἀφορ-